Άρ. Βιβλ. Εἰσαγ. 80283

# THEOPHYLACTI SIMOCATTAE

## HISTORIAE

EDIDIT

CAROLVS DE BOOR

EDITIONEM CORRECTIOREM CVRAVIT
EXPLICATIONIBVSQVE RECENTIORIBVS
ADORNAVIT

PETER WIRTH

ΣΠΟΥΔΑΣΤΗΡΙΟΝ
ΜΕΣΑΙΩΝΙΚΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ
ΚΑΙ ΒΥΖΑΝΤΙΝΗΣ ΙΣΤΟΡΙΑΣ

STVTGARDIAE IN AEDIBVS B. G. TEVBNERI MCMLXXII

1972

*μη΄. Πρεσβεία τοῦ τυράννου πρὸς Χοσρόην, τὸν Περσῶν βασιλέα.*
*μθ΄. Περὶ τῶν συμβεβηκότων Γερμανῷ τῷ στρατηγῷ.*
*ν΄. Ἀναίρεσις Ἀλεξάνδρου τοῦ συννεωτερίσαντος τῷ τυράννῳ Φωκᾷ.*

---

# ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΒΙΒΛΙΟΝ Α΄.

## [ΠΡΟΟΙΜΙΟΝ.]·

fol. 11r 1 *Ἔδει μὴ μόνον τοῖς ἐκ φύσεως ἀγαθοῖς ἀλλὰ καὶ*
*οἰκείοις εὑρήμασι κατακοσμεῖσθαι τὸν ἄνθρωπον. ἔνεστι γὰρ*
*λόγος αὐτῷ, χρῆμά τι θεῖον καὶ ἀξιάγαστον. τούτῳ καὶ*
*θεὸν αἰδεῖσθαι καὶ σέβειν μεμάθηκε καὶ τὰ τῆς οἰκείας*
*ἐνοπτρίζεσθαι φύσεως, καὶ τῆς ἑαυτοῦ διαπλάσεως τὴν σύν-*
2 *ταξιν οὐκ ἠγνόησεν. τοιγάρτοι λόγῳ καὶ πρὸς ἑαυτοὺς*
*συννεύουσιν ἄνθρωποι ἐκ τῆς ἔξω περιωπῆς ἐπ' αὐτὸν τὸν*
*νοῦν εἰσκυκλήσαντες, τά τε περὶ τῆς σφῶν αὐτῶν δημιουργίας*
3 *ἀνελίττουσιν ὄργια. πολλὰ μὲν οὖν οὗτος ἀγαθὰ τοῖς*
*ἀνθρώποις δεδώρηται καὶ συνέριθός ἐστι τῆς φύσεως ἄριστος.*
4 *ἃ γὰρ ἐκείνη διέλειπε λόγος τετελεσιούργηκε βέλτιστα, ἃ μὲν*
*ἐς θέαν ἐγκαλλωπίσας, ἃ δ' ἐς γεῦσιν ἡδύνας, ἔνια πρὸς*
*ἁφὴν τονώσας ἢ μαλακίσας, ἄλλα πρὸς ἀκοὴν μουσουργήσας,*
*τῇ τῆς ἀπηχήσεως ἴυγγι κατακηλῶν τὴν ψυχὴν καὶ πρὸς*
5 *τὸ ἄκουσμα μεθελκόμενος. ἦ οὐχὶ καὶ τεχνῶν οὗτος σοφιστὴς*
*πιθανώτατος; ἐξ ἐρίου μὲν εὐήτριον ἱστουργήσας χιτώνιον,*
27 B *ἐκ δὲ ξύλων γεωργοῖς μὲν τεκταινόμενος ἐχέτλην, πλωτῆρσί*
*τε κώπην, τῷ τε στρατιώτῃ πέλτην καὶ γέρρον κινδύνων*
fol. 11v 6 *πολεμικῶν ἀμυντήρια. ἀξιολογώτατόν τε πάντων, τὸ τῆς*

1 *τόν*] *τῶν* V. — *v.* 7 *om.* V *ἀρχὴ τοῦ προοιμίου* Exc. *περὶ γνωμῶν in mg.* — 8 *ἔδει* V *δεῖ vulg. in Exc. lectio non bene dignoscitur.* — *ἀγαθοῖς om.* Exc. — 14 *καὶ ἐκ vulg. καὶ om.* V Exc. — 19 *ἐς θέαν* V Exc. *εἰς θέαν vulg.* — *καλλωπίσας?* — 22 *τὸ ἄκουσμα* V Exc. *τὰ ἀκούσματα vulg.* — 25 *τε ante κώπην* V Exc. *δὲ* B.



*ἱστορίας διέθετο πολυπειρότατον ἀκοῇ μὲν ἥδυσμα, τῇ δὲ*
*ψυχῇ παιδευτήριον· οὐδὲν γὰρ ταῖς φιλοπευθέσι ψυχαῖς*
*ἔνεστιν ἱστορίας ἐπαγωγότερον. ἱκανὸν δέ τῳ τεκμηριῶσαι* 7
*Ὁμηρικῆς τι δέλτου διήγημα. ἐπὶ τὴν Ἀλκινόου τοῦ βασιλέως*
*αὐλὴν ὁ τοῦ Λαέρτου παῖς ἔναγχος ἐκ τοῦ θαλαττίου κλύδωνος*
*ἐπὶ τὴν ἤπειρον ἐκβρασθεὶς ἐξενίζετο, καὶ πολλὴ ἀμφὶ τὸν*
*Ὀδυσσέα φιλοφροσύνη περιεκέχυτο. πρόχειρον γὰρ ἦν γυμνῷ* 8
*καὶ τετρυχωμένῳ τὸ σῶμα συμφορᾷ ναυαγίας ἐσθῆτα λαμπρὰν*
*ἐμπορπήσασθαι, ὑπῆν δ' αὐτῷ καὶ κοινὸν τῆς βασιλέως*
*τραπέζης ἀξίωμα. καὶ οὖν τῷ ἐπήλυδι παρείχετο καὶ γλώττης*
*ἐλευθερία καὶ διηγημάτων ἐκθέσεως ἄδεια. τοὺς δὲ Φαίακας* 9
*οὕτω τὰ τῆς ἱστορίας ἐνηύφραινεν ὡς χαίρειν εἰπόντας τῷ*
*πότῳ θέατρον εἶναι δοκεῖν τὸ συμπόσιον καὶ διανιστᾶν*
*τὰ ὦτα καὶ κεχηνέναι θεωμένους τὸν ἄνδρα καὶ τῷ μήκει*
*μηδαμῶς τῆς διηγήσεως ἀποκναίεσθαι. καίτοι τὰ πολλὰ τῶν* 10
*ἀφηγημάτων κατηφεῖς εἶχε τὰς ὄψεις· μεγίστων γὰρ κινδύ-*
*νων ἐμπειρία περιέρρει τῇ συνουσίᾳ. λίχνον γὰρ ἀκοὴ καὶ*
*ἀκόρεστον, ἑστιωμένη λόγον παράδοξον. ἔνθεν ἄρα καὶ τοὺς* 11
*ποιητὰς ἐπὶ παιδείᾳ πρώτους ἐνευδοκιμήσαντας ἔστι θεάσα-*
*σθαι· παραλαβόντες γὰρ οὗτοι τὰς τῶν ἀνθρώπων ψυχὰς* fol. 12r
*φιλοΐστορας καὶ πρὸς μάθησιν ὀργώσας ἀεὶ καὶ ξένων διψώ-* 28 B
*σας διηγημάτων, τεχνουργοῦσιν αὐταῖς μυθολόγημα, καὶ*
*περιβάλλουσι φράσιν τῷ πλάσματι, ῥυθμῷ δὲ τὸ ψεῦδος*
*στιβίζουσιν, καὶ μέτροις οἷα κεστοῖς θελκτηρίοις τισὶ τὸ*
*τεράτευμα καλλωπίζουσιν. καὶ τοσαύτην εἶχεν ἡ ψυχαγωγία* 12
*τὴν δύναμιν, ὡς καὶ θεολόγους εἶναι νομίζεσθαι, καὶ παρ'*

3 *δὲ τῷ* V Exc. *corr.* Bo. 201. — 4 *Ἀλκίμου* V *corr. m.* 2. — 6 *ἐξενίζετο* V² *ex ἐξερίζετο.* — 9 *ὑπῆν* V Exc. *ἐπῆν vulg.* — 10 *νοῦν* V². — 11 *ἐκθέσεως* (*κ sec. m. in lit.*) V. — 12 *ἐνηύφραινεν* V (*cf.* III, 6, 5) *ἐνεύφραινεν* Exc. *ἐνηύφρανεν vulg.* — 17 *ἐμπειρία om.* Exc. — *γὰρ καὶ ἀκοὴ καὶ ἀκ.* Exc. — 23 *δὲ*] *τε?* — 24 *στιβίζουσι* V Exc. *στιμμίζουσι* V *m.* 2 *vulg.* — *cf.* Hom. Il. XIV, 214. — 26 *θεολόγους* V Exc. *θεολόγων vulg.* — *παρ' ἐκείνους ut vid.* Exc. *vulg. παρ' ἐκείνοις* V.

ἐκείνους φοιτᾶν τοὺς θεούς, καὶ ταῖς ἐκείνων γλώτταις παρα-
γυμνοῦν τοῖς ἀνθρώποις τὰ οἶκοι, καὶ εἴ τί ποτε τῷ σφῶν
13 αὐτῶν βίῳ συνέτυχεν ἀνδραγάθημα ἢ δυστύχημα. οὐκοῦν
εὑρήσειέ τις κοινὴν ἁπάντων ἀνθρώπων τὴν ἱστορίαν
διδάσκαλον, εἰσηγουμένην οἷς τε ἐγχειρητέον καὶ ἃ παροπτέον
ὡς μὴ συνοίσοντα. ἐμφρονεστάτους τε τοὺς στρατηγοὺς δι'
ἐκείνης ἔστιν ἰδεῖν· τάττειν γὰρ δυνάμεις ἐπίσταται, ὅπως τε
14 λόγοις σοφίζεσθαι δεῖ τὸ πολέμιον. καὶ ταῖς μὲν τῶν ἄλλων
συμφοραῖς προμηθεστέρους σφᾶς αὐτοὺς ἀπεργάζεται, τοῖς
προσφαλεῖσιν ἑτέροις ἐκείνους ἰθύνουσα· ταῖς δ' αὖ πάλιν
εὐπραγίαις εὐδαιμονεστέρους ἀπέδειξε μικραῖς ἀφορμαῖς
15 μεγάλας ἀρετῶν κορυφὰς ἐπαυξάνουσα. καὶ τῷ μὲν πρεσβύτῃ
χειραγωγός τίς ἐστι καὶ βακτηρία, τῷ δὲ νέῳ παιδαγωγὸς
fol. 12v κάλλιστος καὶ συνετώτατος, τῇ πολυπειρίᾳ πολιοῦσά πως τὸ
νεώτερον καὶ προφθάνουσα τοῦ χρόνου τὰ κατ' ὀλίγον μαθή-
16 ματα. πρὸς ἣν ἐπιδραμοῦμαι καὐτός, εἰ καὶ μεῖζον ἢ κατ' ἐμὲ
29 B τὸ ἐγχείρημα διὰ τὸ τῆς λέξεως ἀγεννὲς τῶν τε νοημάτων τὸ
ἀδρανέστατον τῆς τε τοῦ λόγου συνθήκης τὸ ἀκαλλὲς τό τε τῆς
οἰκονομίας ἀτεχνότατον. εἰ δέ τῳ εὔχαρί τι τῶν ἐκτεθησομένων
φανείη, τύχῃ τινὶ προσαπτέτω· μὴ γὰρ ἐπιστήμῃ τὸ αἴτιον.

31 B
1 Ὅτε τὸν αὐτοκράτορα Τιβέριον τῆς ἐντεῦθεν ἔδει λοιπὸν
μεταβήσεσθαι λήξεως καὶ τῷ κοινῷ ὑπείκειν νόμῳ τῆς φύσεως,
ἐπιθεμένης τῇ νόσῳ μελαίνης χολῆς, ὡς σύνηθες παισὶν
ἀποκαλεῖν ἰατρῶν, ἀνερρήθη Μαυρίκιος καὶ βασιλέως ἀξίᾳ
μεγαλαυχεῖται καὶ νεάζων τῇ ἁλουργίδι τῆς μεγάλης τῶν
2 αὐτοκρατόρων δυνάμεως μετελάγχανεν. φοράδην γὰρ ἀχθεὶς
ὁ βασιλεὺς Τιβέριος ἐπὶ τὴν ὕπαιθρον τῶν βασιλείων αὐλήν,

2 τὰ οἰκεῖα εἴ τι? — 4 εὑρήσειε V Exc. ἐρήσειε *vulg.* — 14 τὸ V Exc. τὸν *vulg.* — 19 τῷ V Exc. που *vulg.* — 20 προσαπτέτω V Exc. προσαπτέσθω *vulg.* προσαπτέσθω, μὴ γὰρ ἐπιστήμῃ, τὸ αἴτιον Be 459. — αἴτιον] *des* Exc. Vat. — 23 νόσο V. — ἐπιτιθεμένης τῆς νόσου μελ. χ.? *cf.* III, 11, 4. — 27 βασιλέων? *cf.* I, 10, 2.



ἥτις παρήνωται τῇ πολυστιβάδι τῶν ἀνακτόρων οἰκίᾳ προαυλίῳ
περιφανεῖ καὶ περιδόξῳ τῳ προσκηνίῳ, τὸν τῆς ἱεραρχικῆς
προεστῶτα καθέδρας συγκαλεσάμενος (Ἰωάννης δὲ κατ' ἐκεῖνο
καιροῦ τοὺς τῆς ἐκκλησίας διίθυνεν οἴακας) τόν τε τῶν
ἱερῶν ἀξιωμάτων συναθροισάμενος ξύλλογον τούς τε δορυ-
φόρους καὶ φύλακας καὶ πάντας τοὺς ἐς βασιλέως τιμὴν
συντεταγμένους, ναὶ μὴν καὶ τοὺς ἐπισημοτέρους τοῦ δήμου, fol. 13r
αὐτὸς μὲν οὐδέπω τοῖς ἐντυχοῦσι διείλεκται, βασιλέως δὲ 3
γλῶτταν τὸν Ἰωάννην ἐδείκνυεν, ἄνδρα ῥήτορά τε δεινὸν
καὶ νόμων Ῥωμαϊκῶν ἐπιστήμονα, ὃς τὰ βασιλέως προσ-
τάγματα τῷ διατόρῳ τῆς εὐγλωττίας ἐμεγαληγόρει βασιλικῆς 32 B
μεγαλοφροσύνης ἐπάξια. τοῦτον ἐπιχωρίῳ Ῥωμαῖοι φωνῇ
ἀποκαλοῦσι κυαίστορα. παρῆν γοῦν ὁ αὐτοκράτωρ ἐπὶ τῇ 4
χειροτονίᾳ τοῦ βασιλέως ἅμα τῇ παιδὶ Κωνσταντίνῃ, ἣν τῷ
Μαυρικίῳ τύχης ἅμα καὶ βίου κοινωνὸν ἐποιήσατο, καὶ πρό
γε τῆς ἀναρρήσεως τῷ ξυλλόγῳ τάδε παρέθετο.
"Ἄνδρες Ῥωμαῖοι, τὸ πολυθρύλητον τοῖς ἔθνεσιν ὄνομα 5
καὶ ἐπίτιμον, τὸ ἐπὶ στομάτων πολλῶν ἐπ' εὐφημίᾳ δι'
εὔκλειαν περικείμενον, μεγάλαι καὶ τελευταῖαι νῦν αἱ τῶν
φροντίδων ὠδῖνες ἡμῖν περιίστανται, αἱ μὲν τὰ τῇδε δια-
θεῖναι καλῶς ἀναγκάζουσαι, αἱ δὲ τῇ διαζεύξει τῆς μετα-
στάσεως ἐκταράττουσαι καὶ τῶν ἐνθένδε τοὺς λόγους τῆς
βιοτῆς παραθέσθαι τῷ δημιουργῷ κατεπείγουσαι. καὶ περι- 6
δεής μοι τήμερον ἡ πάλαι παρρησία καὶ ἄδεια· οἷς γὰρ
ἀφθονία τῆς ἐξουσίας, τούτοις εἰκὸς καὶ τὰ σφάλματα παρέπε-

2 τῷ *codd.* de Boor τῳ *corr.* Nissen I p. 27. — 6 ἐς *in lit. m.* 2 *ut vid.* V. — βασιλέως *m.* 1 *corr. ex* βασιλέων V. — 9 ἀνεδείκνυεν? — 11 διατόρῳ *m.* 2 *ut vid. corr. ex* διαπόρῳ V Niceph. Hist. eccl. XVIII, 5 διατόνῳ *vulg.* — 13 κυαίστορα V Phot. κοναίστορα *vulg.* — 17 ἄνδρες Ῥωμαῖοι *add. ex* V. — πολυθρύλητον *scr. e coni. cf.* IV, 8, 6. πολυθρύλλητον V *vulg.* — 18 ἐπὶ στομάτων πολλῶν *vulg.* ἐπιστόμα τῶν πολλῶν V *cf.* I, 2, 5. — 20 διαθῆναι V *vulg. corr.* B. — 22 τῶν ἐνθένδε τοὺς λόγους (*ut coni.* B) V τὴν ἐνθένδε τοῖς λόγοις *vulg.* τῆς ἐνθένδε βιοτῆς τοὺς λόγους Nic. XVIII, 6. — τῆς βιοτῆς del? — 24 Ὅτι οἷς ἀφθονία — πλείονα Exc. περὶ γνωμῶν *p.* 180.

7 σθαι πλείονα. ἀλλ' ὅμως αἱ περὶ τῆς βασιλείας ἡμῖν ὀξύτεραι καὶ
προκύπτουσαι, οὐχ ὅτῳ ταύτην οὕτω ταχὺ κατατίθεσθαι, ἀλλ'
fol. 13v ὅτῳ ταύτην ἔνεστι καλῶς διατίθεσθαι, ἐπεὶ μηδὲ κατενεγυώμην
ταύτην ἐγὼ ἐπί τε τρυφῇ τῆς ἐξουσίας καὶ κολακείᾳ τοῦ σώματος.
ὁρῶ δὲ καὶ τὴν φύσιν μετὰ τῆς τύχης ἡμᾶς κατατρύχουσαν.
8 βασιλεία γὰρ καὶ παῖδες καὶ γύναιον κατὰ ταυτὸν ἐπιτίθενται,
33 B ἡ μὲν ἡγεμόνα ζητοῦσα σοφόν, ἡ δὲ κηδεμόνα χηρείας ἐπιεικέ-
στατόν τε καὶ εὐσεβέστατον, αἱ δὲ τοὺς χειραγωγοῦντας διὰ τὸ
τῆς ἡλικίας ἄωρον τό τε τῆς θηλείας φύσεως ἀσθενέστερον.
9 περιφρονῶ δὲ πολλάκις ὑπὸ τῆς νόσου τὴν φύσιν καὶ τὸν
ἐκείνης δραπετεύω δεσμὸν καὶ παίδων ὑπερορῶ, καὶ περιῶπταί
μοι γύναιον, ἤδη τεθνάναι δοκῶν καὶ τῆσδε τῆς προμηθείας
10 ἐλευθερίαν λαχεῖν. ἀλλ' εὐθὺς ἡ περὶ τῶν σκήπτρων ἀπαραί-
τητος φροντὶς εἰσεπήδησεν· οὐ τὸ μόνον γὰρ διατηρῆσαι
κράτος ἐμπιστευθέν ἐστιν ἀγών, ἀλλὰ καὶ τὸ δεόντως ἑτέροις
11 παραπέμψαι τὸν κλῆρον. δεῖ γὰρ τῶν προτέρων ἡγεμόνων
εἶναι τοὺς δευτέρους ἀμείνους, ἵνα τοῖς προσφαλεῖσιν ἐκεῖνοι
τὴν παρ' αὐτῶν διόρθωσιν εἰσαγάγωσιν, ἢ διολισθάνειν
ἅπαν συλλήβδην εἰπεῖν τὸ ὑπήκοον, ἀδρανεστέρᾳ κρηπῖδι
12 τὴν βασιλείαν στηρίξαντι. τούτων κατεσθιόντων τῶν λογισμῶν
τὴν διάνοιαν, ἡ τεχνῖτις ἡμῖν πρόνοια συλλαμβάνει τῶν
πόνων καὶ μίαν μεθ' ἡμῶν βουλὴν προηνέγκατο καὶ δείκνυσι
fol. 14r τὸν βασιλεύσοντα ἐπιβάτην τε τῆς ἐξουσίας ἐσόμενον, Μαυρί-
κιον τουτονί, ἄνδρα λυσιτελέστατον, τῇ Ῥωμαίων ἀρχῇ πολλοὺς
καὶ μεγάλους πόνους ἐγκαταθέμενον, ὥσπερ ἀρραβῶνάς τινας
προκαταβαλόμενον τῆς ἐσομένης ἀμφὶ τὸ ὑπήκοον προνοίας

1 ἀλλ' *del. vid. e constanti Theoph. usu cf.* I, 11, 2; 13, 12; II, 9, 13; 15, 12 *al. habet etiam* Nic. — 3 κατενεγυώμην V κατενεγγυώμην *vulg.* — 8 τοὺς χειραγωγοῦντας *scr. e. coni.* τοῦ χειραγωγοῦντος V τὸν χειραγωγοῦντα B. — 10 ἀπὸ? — 11 θεσμόν? cf. III, 13, 19; IV, 4, 8 (δεσμὸν *etiam* Nic.) — 12 τῆσδε *add.* V. — 14 Ὅτι οὐ τὸ μόνον διατηρῆσαι — κλῆρον Exc. περὶ γνωμῶν *p.* 180. — 17 ἐκείνοις? *cf.* Prooem. 14 *et* Nic. — 18 διολισθάνειν V διολισθαίνειν *vulg.* Nic. — 25 καὶ ὥσπερ?



αὐτῷ. τοῦτον αὐτοκράτορα τήμερον ὄψεσθε. οὕτω δὲ πέποιθα 13
ἐπὶ τήνδε τὴν μεγίστην ἐγχείρησιν (καὶ τὰ τῆς διανοίας οὐ 34 B
σκάζει κινήματα), ὡς καὶ τὸ θυγάτριον ἅμα τῇ βασιλείᾳ
τούτῳ πεπίστευκα. τηλικούτῳ φύσεως ἐνεχύρῳ θαρρύνων
ὑμᾶς ταύτην ἐφόδιον τὴν ψυχαγωγίαν ἐπὶ τὴν μακρὰν ἐκείνην
ἐκδημίαν ἀποίσομαι. καὶ ὑμεῖς δέ μοι μάρτυρες τῆσδε τῆς 14
καλλίστης συντάξεως ἀξιόχρεῳ ἐξ ὧν ἐπειράθητε ἡμῶν τε
ἡνιοχούντων τὴν ἡγεμονίαν καὶ τοῦδε παριππεύοντος λίαν
ἡμῖν ἐμφρονέστατα. σὺ δέ μοι, Μαυρίκιε, κάλλιστον ἡμῖν 15
ἐπιτάφιον τὴν σὴν βασιλείαν πεποίησο. κόσμει τὸν ἐμὸν
τάφον ταῖς σαῖς ἀρεταῖς, μήτε τὰς τῶν πεπιστευκότων καται-
σχύνων ἐλπίδας, μήτε τὰς σὰς ἀγνωμονῶν ἀρετὰς τήν τε
τῆς ψυχῆς δραπετεύων εὐγένειαν. χαλίνου λόγῳ τὴν ἐξουσίαν, 16
φιλοσοφίᾳ τὸ κράτος οἰάκιζε· βασιλεία γὰρ ὑψηλόν τι χρῆμα
καὶ μετέωρον, ἐς μέγα τὸν ἐπιβάτην ἀπαιωροῦσα τοῖς τε
λογισμοῖς ἐκφρυάττουσα. δόκει μὴ πάντων ὑπερέχειν τῷ
φρονιμώτατος εἶναι, εἰ καὶ τὰ τῆς τύχης ὑψηλά σοι παρὰ fol. 14v
πάντας. θηρῶ παρὰ τῶν ὑπηκόων ἀντὶ μὲν φόβου τὴν 17
εὔνοιαν, ἀντὶ δὲ κολακείας τίμα τὸν ἔλεγχον οἷα διδάσκαλον
ἄριστον· ἀνουθέτητον γὰρ ἐξουσία καὶ παιδείας οὐκ ἀνεχό-
μενον. ἔστω πρὸ τῶν σῶν ὀφθαλμῶν σύνεδρος ἡ δίκη
πρυτανεύουσα τῶν βεβιωμένων ἀντίδοσιν. νόμιζε τὴν 18
πορφύραν, τῷ φιλόσοφος εἶναι, εὐτελές τι ῥάκος ἀμπέχεσθαι,
τὸν δὲ στέφανον μηδέν τι διοίσειν τῶν ἐπὶ τοῖς αἰγιαλοῖς 35 B
τῆς θαλάττης ψηφίδων. στυγνὸν τὸ τῆς ἁλουργίδος ἄνθος,
καί μοι δοκεῖ τοῖς βασιλεῦσι παρεγγυᾶν μετριοπαθεῖν ἐπὶ
ταῖς εὐπραγίαις, καὶ μὴ περιγάνυσθαι καὶ φρυάττεσθαι τῇ
πενθίμῳ ταύτῃ τῆς μοναρχίας στολῇ· οὐ γὰρ ἐξουσίαν
ἀκολασίας ἀλλὰ δουλείαν ἔνδοξον τὸ σκῆπτρον τῆς βασιλείας

1 αὐτῷ V αὐτοῦ *vulg.* — 16 δόκει *m.* 2 *corr. ex* δοκεῖ V. — 18 θηρῶ V θήρα *vulg.* — 20 Ὅτι ἀνουθέτητον ἐξ. — ἀνεχόμενον Exc. περὶ γνωμῶν *p.* 180. — 22 τὴν ἀντίδοσιν *e* Niceph.? *cf.* VI, 10, 4. — 27 περιγάνυσθαι V περιγάννυσθαι *vulg.*

19 φιλοσοφεῖν ἐπαγγέλλεται. ἡγείσθω τῆς ὀργῆς τὸ φιλάνθρωπον,
τῆς δὲ σωφροσύνης ὁ φόβος. ἐξέταξε γὰρ καὶ ταῖς μελίτταις
ἡγεμόνας ἡ φύσις, ὠχύρωσε δὲ καὶ κέντρῳ τὸν βασιλέα τὴν
μέλιτταν ὥσπερ τι κράτος αὐτόματον ἐγκεντρίζουσά πως
αὐτῷ, ἵνα καὶ πλήττειν ἔχῃ τὸν μὴ δικαίως πειθόμενον.
20 ἀλλ' οὐκ ἔστιν ἐκείνῃ τὸ κέντρον τυραννικόν, δημωφελὲς
δὲ μᾶλλον καὶ δίκαιον. οὐκοῦν ἐκείνης ἐσόμεθα μιμηταί, εἰ
μήγε λόγος δεδύνηται χαρίζεσθαι καὶ τὰ μείζονα. ταῦτα μὲν
ὁ προβολεὺς ἐγώ· ἕξεις δὲ τῆς γνώμης ὥσπερ δικαστὴν τὴν
fol. 15r ἐξουσίαν ἀδέκαστον, ἢ τιμῶσαν τὰς ἀρετὰς ἢ τὴν κακίαν
φαυλίζουσαν."

21 Ὅτε τοίνυν τὰ τῆς διαλέξεως ἐπερατοῦτο τῷ αὐτο-
κράτορι, πολὺ τοῖς θεαταῖς τὸ δάκρυον ἐπεκύμαινεν, τῶν μὲν
ἀνιωμένων ἐπὶ τῷ πάθει, παρ' οἷς καὶ τὰ τῆς εὐνοίας ἦν
λιπαρώτερα, ἄλλων δὲ κατακηλουμένων ἐπὶ τῷ οἴκτῳ διὰ
τῆς συμπαθείας· φιλεῖ γὰρ ἡ συμφορὰ καὶ τῷ θεατῇ μετα-
22 διδόναι τοῦ πάθους. τὴν στεφάνην ⟨δὲ⟩ ὁ βασιλεὺς ἀράμενος
36 B τήν τε πορφυρᾶν διπλοΐδα, ἀμπεῖχε τὸν Καίσαρα. διεχεῖτο
δὲ πολλὴ ταῖς εὐφημίαις παρὰ τῶν ὑπηκόων βοή. ἔνιοι
γὰρ τὸν προστησάμενον ἀπεθαύμαζον ἀγάμενοι τῆς εὐβουλίας
τὸν αὐτοκράτορα, ἕτεροι τὸν ἀναρρηθέντα καὶ τηλικαύτης
ἡγεμονίας ἑαυτὸν παραθέμενον ἄξιον, ἅπαντες δὲ τὸν αἴτιον
τούτων ἁπάντων θεὸν ἄμφω ταῦτα καλῶς συμβιβάσαντα.
23 ἐπεὶ δὲ ὁ μέγας οὗτος καὶ ὕστατος τοῦ βασιλέως σκοπὸς
διανυσθεὶς ἐτετέλεστο, τά τε τῆς ἀναγορεύσεως ἔθη κατὰ

2 ἐνέταξε *mavult* B. καὶ ἔταξε? *cf.* VI, 4, 5. — 3 κέντρῳ (*ut coni.* B.) V κέντρον *vulg.* — κέντρῳ *et* τὴν μέλιτταν *interpolata esse censet* Be. 462. — 6 ἐκείνῃ V ἐκεῖνο *vulg.* — δημωφελές V B. δημοφελές *vulg.* — 8 δεδύνηται V δυδύνηται *vulg.* δύνηται B. — 16 Ὅτι φιλεῖ ἡ σ. — πάθους Exc. περὶ γνωμῶν *p.* 180. — 17 δὲ *add. vulg.* εἶτα τὴν στεφ. Nic. — 19 τῆς εὐφημίας Nic. πολλή τις εὐφημίας? — 25 διανυσθείς V διανυθείς *vulg.*



τοὺς βασιλικοὺς θεσμοὺς ἐπεπλήρωτο, ἐπὶ τὴν ἑαυτοῦ κλίνην
Τιβέριος ὁ αὐτοκράτωρ ἀνέζευξεν.

2. Λόγος δὲ καὶ θείαν ὀμφὴν πρό τινος βραχέος τῆς 1
νόσου καιροῦ κατηχηθῆναι Τιβερίῳ τῷ αὐτοκράτορι. ἔδοξε
γὰρ ἐν ὕπνοις παρεστάναι αὐτῷ πάγκαλος τὴν θέαν ἀνὴρ
ἐνθέου τινὸς ὡραιότητος εἰκόνα φερόμενος, τῷ μὲν λόγῳ τὸ
ἄρρητον, τῇ δὲ γραφῇ τὸ ἀμίμητον. ἐσθὴς δὲ τῷ νεανίᾳ fol. 15v
λευκή, τόν τε τόπον καὶ τὸν θεατὴν καταυγάζουσα ταῖς
μαρμαρυγαῖς τῆς ἐλλάμψεως. φῆσαι δὲ πρὸς τὸν Καίσαρα, 2
συνδημηγορούσης αὐτῷ τῆς χειρὸς ἐν τῷ σχήματι, "τάδε σοι,
Τιβέριε, τὸ τρισάγιον λέγει· οἱ τύραννοι τῆς ἀσεβείας ἐπὶ τῆς
σῆς βασιλείας οὐ φοιτήσουσι χρόνοι." εἶτα τὸν βασιλέα διανή-
ψαντα τεταράχθαι τῇ φαντασίᾳ, ὄρθριόν τε διανίστασθαι καὶ
τοῖς ἀμφ' αὐτὸν διεξιέναι τὰ τῶν ὀνειράτων θεάματα.

Τῇ δὲ ὑστεραίᾳ (πρὸς γὰρ τὸν λόγον ἐπάνειμι) τῷ 3
κοινῷ τῆς φύσεως νόμῳ Τιβέριος, εἰ καὶ βασιλεὺς ἐτύγχανεν
ὤν, ἐπειθάρχησεν ἀπέστη τε τῶν τῇδε, καὶ οἷα σκηνὴν 37 B
τῆς ψυχῆς καταλελύκει τὸ ἀχθοφόρον τουτὶ καὶ γήϊνον
χιτωνίσκιον. καὶ πολὺς ἀνὰ τὸ ἄστυ ἐπεκύμαινε θρῆνος·
πολλῶν γὰρ ὀφθαλμῶν ῥεῖθρον διήνοιξε καὶ φλέβας δακρύων
ἀνέτεμεν, καὶ μέγα ταῖς τῶν πολλῶν ψυχαῖς ἐνεφοίτα τὸ
πένθος. τὸ φαιδρὸν τῆς στολῆς διερρήγνυτο τό τε κατηφὲς 4
τῆς ἐσθῆτος ἀντελαμβάνετο. ἅπαντας ἐπὶ τὸ στυγνὸν ἐκεῖνο
θέατρον συνεκάλει τὸ ἄκουσμα. εἰσήρρει τὰ πλήθη τῇ βασιλίδι
αὐλῇ· οὐκ εἶχε τὰ προαύλια φύλακας τοῖς πολλοῖς προπετά-
σμασι μόλις τοῖς ἐν ἀξίᾳ φιλοτιμουμένοις τὴν εἴσοδον. κατηφὴς
ὑμνῳδία πάννυχος ἦν ταῖς φωταγωγοῖς λαμπάσι σκυθρωπὸν fol. 16r
ὄψιν παρέχουσα. καὶ δῆτα μετὰ τὸν ὄρθρον τὰς ἀκτῖνας 5
προσβάλλοντος ἡλίου καὶ τὸ ὑπέργειον διατρέχοντος ἡμι-

2 Τιβέρειος V. *similiterque* v. v. 4; 11; 16. — 6. 7 τὸ *utrumque del. cum* Nic.? — 10 ἐν *del.? cf.* V, 5, 9. (*Habet* Nic.) — 18 καταλελύκει V κατελελοίπει *vulg.* (καταλιπούσης Nic.) — 21 ἐνεφοίτα V ἀνεφοίτα *vulg.* — 24 εἰσήρρει V εἰσέρρει *vulg.* — 29 προσβάλλοντος V προβάλλοντος *vulg.*

σφαίριον, προύπεμπεν ἅπας τεθνηκότα τὸν βασιλέα καὶ μετ'
εὐφημίας εἶχεν ἐπομβρῆσαν τὸ δάκρυον, πολύς τε ἦν ὁ
ἐπιτάφιος ἔπαινος, εἷς ἀπὸ στομάτων πολλῶν προχεόμενος
οἷά τις ποταμὸς εἰς πολλὰς ἀρχὰς μεριζόμενος, ἢ δένδρον
ὑψιτενές τε καὶ εὔκομον πολλαῖς τε καὶ μεγάλων κλάδων
6 ἐκφύσεσι διαιρούμενον. εἴωθε γὰρ δεινοπαθεῖν τὸ ὑπήκοον
ἐπὶ ταῖς ἀώροις μεταστάσεσι τῶν ἐπιβεβηκότων δυνάμεως,
εἴγε πιθανῶς καὶ δημοτικώτερον τῆς ἡγεμονίας ἀπάρξαιντο.
7 ἐπεὶ δὲ τοῦτον ὁ τῶν βασιλέων ὑπεδέξατο τάφος, ἐπὶ τὴν
ἐς Μαυρίκιον τὸν αὐτοκράτορα δορυφορίαν ἅπας ἐτέτραπτο,
38 B καὶ πέρας αὐθήμερον εἶχε τὸ δάκρυον· οὐχ οὕτω γὰρ τοῖς
ἀνθρώποις τῶν παρῳχημένων ἐστὶν ἀνάμνησις ὡς ἡ περὶ
τὰ παρόντα μετὰ σπουδῆς ἐπιμέλεια.

1 3. Ἤδη δὲ τὸν τῆς ἱστορίας ὑφαίνειν ἱστὸν ἀπαρχόμενος
τούς τε βαρβαρικοὺς πολέμους ἀναγράπτους ποιούμενος, τῆς
κατὰ τοὺς Ἀβάρους κινήσεως πρῶτα μνησθήσομαι διά τε τὸ
τῶν πράξεων προσεχέστατον τῆς τε τάξεως τὸ προσφορώτατον.
2 οὐκ ὀλίγα τοίνυν νεανικώτερον παρ' ἐκείνων τὸ τηνικαῦτα
fol. 16v τετόλμηται. Οὖννοι δ' οὗτοι, προσοικοῦντες τῷ Ἴστρῳ,
ἀπιστότατον ἔθνος καὶ ἀπληστότατον τῶν νομάδην βιούντων.
3 οὗτοι πρεσβεύονται πρὸς τὸν αὐτοκράτορα Μαυρίκιον οὐχ
ἥκιστα τοῦ μεγίστου πολίσματος γενόμενοι κάτοχοι. Σίρμιον
δὲ τοῦτο ὠνόμαστο, ἄστυ τε περίδοξον ἦν, τοῖς ἀνὰ τὴν
Εὐρώπην οἰκοῦσι Ῥωμαίοις περιλαλούμενον καὶ ᾀδόμενον.
4 τοῦτο ἥλω πρό τινος βραχυτάτου καιροῦ τοῦ τὸν αὐτοκράτορα
Μαυρίκιον τὰς Ῥωμαϊκὰς μετὰ τῆς πορφύρας ἐνδύντα

2 ἔχεεν? — 5 καὶ ante μεγ. del.? — 6 Ὅτι εἴωθε δειν. — ἀπάρξαιντο Exc. περὶ γνωμῶν p. 180. — 7 δυνάμεως V Exc. δυνάμεων vulg. — 8 ἀπάρξαιντο V Exc. ἀπήρξαντο vulg. — 11 αὐθήμερον V αὐθημερόν vulg. — Ὅτι οὐχ οὕτω τοῖς — ἐπιμέλεια Exc. περὶ γνωμῶν p. 180 fin. et p. 329 init. — 17 προσεχέστατον] πλησιέστερον m. 2 in mg. V. — προσφορώτατον] οἰκειότατον m. 2 in mg. V. — 19 δ' οὗτοι V δὲ οὗτοι vulg. — 21 πρὸς V παρὰ vulg. — 22 τοῦ del.? — Σιρμίον V.



φροντίδας τῆς τῶν Καισάρων ἐποχεῖσθαι καθέδρας. τὸ δ' 5
ὅπως Μενάνδρῳ τῷ περιφανεῖ σαφῶς διηγόρευται· περὶ ὧν
οὔ μοι σχολὴ ἐπεξεργαστικώτερον τοῖς μακροῖς ἐκείνοις λόγοις
ἐπεξελθεῖν, αὖθις δ' ἀριζήλως εἰρημένα μυθολογεύειν καὶ
ποιητικοῖς ἐπιτρίβεσθαι μώμοις. ἐπεὶ δὲ ἐν χερσὶ τὸ ἄστυ 6
ἐγεγόνει τῶν Οὔννων, προῆλθον αἱ σπονδαί, ὅπως ἡσυχίαν
ἀσπάσοιτο τὸ πολέμιον καὶ τὴν ἠρεμίαν φιλοσοφήσοιεν. αἱ 7
δὲ συνθῆκαι ἐπονείδιστοι Ῥωμαίοις· μετὰ γὰρ τηλικοῦτον
κολοφῶνα κακοῦ, οἷά πως ἀγωνοθέται καθήμενοι, ὥσπερ
ἆθλον εὐδοξίας δῶρα λαμπρὰ τοῖς βαρβάροις παρείχοντο 39 B
ὀγδοήκοντά τε χιλιάδας χρυσῶν καθωμολόγουν ἀν' ἔτος
ἕκαστον τοῖς βαρβάροις ἐγκαταβάλλεσθαι δι' ἐμπορίας ἀργύρου
τε καὶ ποικίλης ἐσθῆτος. οὐ περαιτέρω δὲ διήρκεσαν τῶν 8
δύο ἐνιαυτῶν αἱ σπονδαί· κατηυθαδίσατο γὰρ Ῥωμαίων ὁ
παρὰ τοῖς Οὔννοις Χαγάνος οὕτω λεγόμενος. φήμη δέ τις fol. 17r
ἀμφ' αὐτὸν πρὸ τοῦ τὴν εἰρήνην διαφθαρῆναι περιεκέχυτο,
ὡς ζῶα τρέφεται παρὰ Ῥωμαίοις τῷ μεγέθει καὶ τῷ σώματι
ἐμφανέστατα. διὸ ἐξῄτησε βασιλέα εἰς θέαν τούτων ἐλθεῖν.
καὶ ψυχαγωγεῖ θᾶττον ὁ βασιλεὺς τῆς ἱστορίας τὸν ἔρωτα 9
καὶ δίδωσιν εἰς θεωρίαν ἐλεφάντων γενέσθαι, πέμψας ὡς
αὐτὸν ἐκ τῶν παρ' αὐτῷ τρεφομένων θηρίων τὸ ἐξοχώτατον.
ὁπηνίκα δ' εἶδεν τὸ Ἰνδικὸν ζῶον ὁ Χαγάνος ἐλέφαντα, 10
παραυτίκα καταλύει τὸ θέατρον καὶ παλιννοστεῖν προστάττει

1 ἐποχεῖσθαι vulg. ἐπεχεῖσθαι V. — 2 περὶ ὧν — 5 μώμοις Exc. περὶ γνωμῶν p. 329. — 4 cf. Homer Od. XII, 452. — 5 Ὅτι τὸ Σίρμιον τὸ ἄστυ ἐπεὶ ἐν χερσὶν ἐγεγόνει τῶν Οὔννων inc. L (Leg. Gent.) — 7 φιλοσοφήσοιεν V L φιλοσοφήσειεν vulg. — 8 τηλικοῦτον V L τηλικούτου vulg. — 12 ἐμπορείας Phot. — 13 διήρυσαν L. — 14 κατηυθαδίσατο (ut coni. G. Dindorf in Steph. thes. s. v.) V κατηυθαδιάσατο L vulg. — ὁ παρὰ τ. Οὔννοις λεγ. χαγάνος L. — Χαγάνος V L ubique Χαγᾶνος B. — 16 ἀμφ' om. L. μ eras in V. — 18 ἐξήτησε V (ᾐτήσατο Ind. huius capitis ᾔτησε Theophan. p. 253, 2) ἐξήτησε L vulg. — βασιλέα Μαυρίκιον L. — 21 θηρίον L. — 23 παλιννοστεῖν (ut rell. locis omnibus Theophylactus) L παλινοστεῖν V vulg.

τὸ θηρίον παρὰ τὸν Καίσαρα, ἢ καταπλαγεὶς ἢ ἀποφαυλίσας
τὸ θαυμαζόμενον, οὐκ ἔχω εἰπεῖν· οὐ γὰρ ἂν ἐκρυψάμην.
11 ἐπώχλει δὲ τὸν Καίσαρα καὶ κλίνην χρυσῆν τεχνουργήσαντα
ὡς αὐτὸν παραπέμψαι· ἐπὶ τοσοῦτον γὰρ τοῦτον μετεώριζεν
ἡ τῆς παρούσης τύχης ἀκρώρεια. βασιλεὺς δὲ τὸ δῶρον
12 ἐξεργασάμενος βασιλικῶς μετεπέμπετο. ὁ δὲ σοβαρευόμενος
πολλῷ μᾶλλον κατεβρενθύετο οἷα προπηλακιζόμενος τῷ
ἀναξίῳ τοῦ δωρήματος, ἀπεπέμπετο δὲ παρὰ τὸν αὐτο-
κράτορα ὡς εὐτελές τι καὶ ἄκομψον τὴν χρυσῆν ἀλαζονικώ-
13 τερον κλίνην. ναὶ μὴν ἠξίου καὶ πρὸς ταῖς ὀγδοήκοντα τοῦ
40 B χρυσοῦ χιλιάσι καὶ ἑτέρας εἴκοσιν ἀν' ἔτος ἕκαστον παρὰ
fol. 17v Ῥωμαίων ἀποίσεσθαι· καὶ δῆτα δυσανασχετοῦντος τοῦ αὐτο-
κράτορος, περιφρονεῖ τὰς συνθήκας καὶ τοὺς ὅρκους ταῖς
1 αὔραις φέρειν ἐδίδου, 4 ἀθρόον τε τὴν πολέμῳ φίλην ἀρά-
μενος σάλπιγγα τὰς δυνάμεις συνήθροιζε καὶ τὴν Σιγγηδόνα
τὴν πόλιν ἐξαπιναίως ἄφρακτον οὖσαν ἐλάμβανε πολεμικῶν
τε ὀργάνων χηρεύουσαν διὰ τὸ ἐκ τῆς εἰρήνης ῥαθυμίαν
πολλὴν ὑπερεκχεῖσθαι τῆς Θρᾴκης· ἀφύλακτον γὰρ εἰρήνη
2 καὶ προμηθείας οὐκ ἀνεχόμενον. τῶν τε τοῦ ἄστεος τοῖς
πλείστοις συμπαρομαρτεῖ ἐν τοῖς ἀγροῖς αὐλιζομένοις, τῆς
ὥρας τοῦτο κατεπειγούσης ποιεῖν· θέρους γὰρ ὥρα ὑπῆν,
3 καὶ ὅσον ἀποζῆν ἐθησαυρίζοντο. ἀκονιτὶ δὲ τὴν πόλιν οὐχ
εἷλεν ὁ βάρβαρος· μεγίστη γὰρ συμπλοκὴ ἀνὰ τὰς πύλας
συνεπεπτώκει τοῦ ἄστεος, πολλούς τε τῶν Ἀβάρων διαφθα-
ρῆναι συνέτυχεν, Καδμείαν τε, τὸ τοῦ λόγου, ἀποφέρεσθαι

1 ἢ ἀποφαυλίσας (ἀποφαυλήσας L) τὸ θαυμαζόμενον L V τὸ θαυμ. ἢ ἀποφαυλίσας *vulg.* — 3 ἐπώχλει L ἐπωχλεῖ V ἐποχλεῖ *vulg.* — 6 ἐξειργασάμενος L. — ὁ δὲ *sqq.* Suidas *v.* βρενθύεσθαι. — 9 ἀλαζονευόμενος L. — 13 *sq.* Suid. *v.* αὔραν *et* Χαγάνος. — 15 συνήθροιζε] *des* L. ἤθροιζε Suid. — 18 Ὅτι ἀφύλακτον — ἀνεχόμενον Exc. περὶ γνωμῶν *p.* 329. — 19 ἀντεχόμενον? — 20 ἐν τοῖς ἀγροῖς V ἀγροῖς *om. vulg.* ἐν τοῖς *in* ἐκτός *mut.* B. — 24 πολλοὺς V πολλοῖς *vulg.* — 25 Καδμείαν — νίκην Exc. περὶ γνωμῶν *p.* 329 *quae add.*: ἐπὶ τῶν βλαβερῶς νικησάντων.



νίκην· πολλάς τε καὶ ἑτέρας ἀστυγείτονας πόλεις ληΐζεται.
ταύτας δὲ ῥᾷστα καὶ πόνων ἐκτός· ἀόρατον γὰρ ἦν τὸ κακὸν
καὶ ταῖς ἐλπίσιν ἀκαραδόκητον. ἀνελών τε Αὐγούστας καὶ 4
τὸ Βιμινάκιον (πόλεις δ' αὗται λαμπραὶ ὑπὸ τὸ Ἰλλυρικὸν
φορολογούμεναι) παραυτίκα στρατοπεδεύεται καὶ τὴν Ἀγχίαλον
περιτέμνεται, τάς τε περιοικίδας κώμας ἐδῄωσεν· τὸν δὲ τῶν 5
θερμῶν ὑδάτων οἶκον οὐκ ἀναστῆσαι φασίν. λόγος δέ τις ὡς fol. 18r
ἡμᾶς ἐξεφοίτησεν, ἐνθάδε τὰ τοῦ Χαγάνου ἀπορρύψασθαι
γύναια καὶ μισθὸν τῆς ἀπολαύσεως ἐκεῖνον αἰτεῖν μὴ καταρ-
ριπτεῖν τὰ τῶν ὑδάτων οἰκοδομήματα. λέγεται δὲ τὰ ὑδάτια ταῦτα 41 B
τοῖς λουσαμένοις ἀγαθὸν εἶναι καὶ εἰς ὑγείαν τούτοις συμμαχεῖν.
τριῶν δ' ἐπιγενομένων μηνῶν πρεσβεύονται Ῥωμαῖοι πρὸς 6
Χαγάνον καὶ τὸν πόλεμον ἀπεκηρυκεύσαντο, Ἐλπίδιον
ἐκπέμψαντες, ἄνδρα ἐς συγκλήτου βουλὴν ἀναγόμενον, τῆς
τε Σικελίας ἡγεμονεύσαντα καὶ τῶν τοῦ πραίτωρος ἐπιβάντα
βημάτων· ἀρχὴ δέ τις αὕτη παρὰ Ῥωμαίοις οὐκ ἄκομψος.
ξυνωρικεύουσι δ' αὐτῷ καὶ Κομεντίολον, ἄνδρα τῶν σωματο- 7
φυλάκων τοῦ βασιλέως ὑπερφερόμενον, ὃν σκρίβωνα τῇ
Λατινίδι φωνῇ Ῥωμαῖοι κατονομάζουσιν. ἧκον γοῦν ἄμφω
παρὰ τὸν Χαγάνον ἐπὶ τὴν Ἀγχίαλον καὶ περὶ σπονδῶν
ἠξίουν ὡς προσετάχθησαν. τοῦ δὲ μὴ μετριοπαθοῦντος ἐπὶ 8
τοῖς ἀδικήμασιν, ἀλλὰ καὶ προσαπειλοῦντος αὐθαδικώτερον τὰ
λεγόμενα τείχη καθαιρήσειν Μακρά, καὶ τοῦ μὲν Ἐλπιδίου ὑπο-
χαλῶντος τοῖς λόγοις καὶ μηδὲ οὐτωσὶ θεραπεύοντος οἰδαινό-

1 τε V δέ B. — 3 ἀκαραδόκητον (*ut coni.* L. Dindorf *in* Steph. Thes. *v.* ἀπαραδόκητος) V ἀπαραδόκητον *vulg.* — Αὐγούστας V (*cf.* Procop. de aedif. IV, 6 p. 290, 21) Αὐγούσταν Index lib. I, 10 Phot. *vulg.* — 6 περιοίκιδας V *corr. vulg.* — 8 ἀπορρύψασθαι (*priore* ρ *in lit.*) V. — 9 καταρριπτεῖν V καταρρίπτειν *vulg.* — 12 Ὅτι ἐπὶ Μαυρικίου πρεσβεύονται Ῥωμαῖοι *inc.* L. (Leg. Rom.) — 14 ἀγόμενον L. — 15 Suid. *v.* ἄκομψος. — 17 ξυνωρικεύουσι δ' αὐτῷ *om.* L. — 18 ὑπερφερ. σκρίβωνα κατὰ Λατίνους. ἧκον L *cf.* Suid. *v.* σκρίβας. — 20 Ἀγχίαλον L *vulg.* Ἀγχιαλόν V Phot. Index lib. I, 11. — 22 προσαπειλοῦντος V. — 24 μηδὲ *add.* L V.